19 σὺ εἶ μετὰ Φαραω. 19κύριε, σὺ ἠρώτησας τοὺς παῖδάς σου λέ-
20 γων Εἰ ἔχετε πατέρα ἢ ἀδελφόν; 20καὶ εἴπαμεν τῷ κυρίῳ Ἔστιν
ἡμῖν πατὴρ πρεσβύτερος καὶ παιδίον γήρως νεώτερον αὐτῷ, καὶ ὁ
ἀδελφὸς αὐτοῦ ἀπέθανεν, αὐτὸς δὲ μόνος ὑπελείφθη τῇ μητρὶ αὐ-
21 τοῦ, ὁ δὲ πατὴρ αὐτὸν ἠγάπησεν. 21εἶπας δὲ τοῖς παισίν σου
22 Καταγάγετε αὐτὸν πρός με, καὶ ἐπιμελοῦμαι αὐτοῦ. 22καὶ εἴπαμεν
τῷ κυρίῳ Οὐ δυνήσεται τὸ παιδίον καταλιπεῖν τὸν πατέρα· ἐὰν
23 δὲ καταλίπῃ τὸν πατέρα, ἀποθανεῖται. 23σὺ δὲ εἶπας τοῖς παισίν
σου Ἐὰν μὴ καταβῇ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ᾽ ὑμῶν, οὐ
24 προσθήσεσθε ἔτι ἰδεῖν τὸ πρόσωπόν μου. 24ἐγένετο δὲ ἡνίκα ἀνέ-
βημεν πρὸς τὸν παῖδά σου πατέρα δὲ ἡμῶν, ἀπηγγείλαμεν αὐτῷ
25 τὰ ῥήματα τοῦ κυρίου. 25εἶπεν δὲ ἡμῖν ὁ πατὴρ ἡμῶν Βαδίσατε
26 πάλιν, ἀγοράσατε ἡμῖν μικρὰ βρώματα. 26ἡμεῖς δὲ εἴπαμεν Οὐ
δυνησόμεθα καταβῆναι· ἀλλ᾽ εἰ μὲν ὁ ἀδελφὸς ἡμῶν ὁ νεώτερος
καταβαίνει μεθ᾽ ἡμῶν, καταβησόμεθα· οὐ γὰρ δυνησόμεθα ἰδεῖν τὸ
πρόσωπον τοῦ ἀνθρώπου, τοῦ ἀδελφοῦ τοῦ νεωτέρου μὴ ὄντος
27 μεθ᾽ ἡμῶν. 27εἶπεν δὲ ὁ παῖς σου ὁ πατὴρ ἡμῶν πρὸς ἡμᾶς
28 Ὑμεῖς γινώσκετε ὅτι δύο ἔτεκέν μοι ἡ γυνή· 28καὶ ἐξῆλθεν ὁ εἷς
ἀπ᾽ ἐμοῦ, καὶ εἴπατε ὅτι θηριόβρωτος γέγονεν, καὶ οὐκ εἶδον αὐ-
29 τὸν ἔτι καὶ νῦν· 29ἐὰν οὖν λάβητε καὶ τοῦτον ἐκ προσώπου
μου καὶ συμβῇ αὐτῷ μαλακία ἐν τῇ ὁδῷ, καὶ κατάξετέ μου τὸ
30 γῆρας μετὰ λύπης εἰς ᾅδου. 30νῦν οὖν ἐὰν εἰσπορεύωμαι πρὸς
τὸν παῖδά σου πατέρα δὲ ἡμῶν καὶ τὸ παιδάριον μὴ ᾖ μεθ᾽ ἡμῶν —
31 ἡ δὲ ψυχὴ αὐτοῦ ἐκκρέμαται ἐκ τῆς τούτου ψυχῆς —, 31καὶ ἔσται
ἐν τῷ ἰδεῖν αὐτὸν μὴ ὂν τὸ παιδάριον μεθ᾽ ἡμῶν τελευτήσει, καὶ
κατάξουσιν οἱ παῖδές σου τὸ γῆρας τοῦ παιδός σου πατρὸς δὲ
32 ἡμῶν μετ᾽ ὀδύνης εἰς ᾅδου. 32ὁ γὰρ παῖς σου ἐκδέδεκται τὸ παι-
δίον παρὰ τοῦ πατρὸς λέγων Ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σὲ καὶ
στήσω αὐτὸν ἐναντίον σου, ἡμαρτηκὼς ἔσομαι πρὸς τὸν πατέρα
33 πάσας τὰς ἡμέρας. 33νῦν οὖν παραμενῶ σοι παῖς ἀντὶ τοῦ παι-
δίου, οἰκέτης τοῦ κυρίου· τὸ δὲ παιδίον ἀναβήτω μετὰ τῶν ἀδελ-
34 φῶν. 34πῶς γὰρ ἀναβήσομαι πρὸς τὸν πατέρα, τοῦ παιδίου μὴ
ὄντος μεθ᾽ ἡμῶν; ἵνα μὴ ἴδω τὰ κακά, ἃ εὑρήσει τὸν πατέρα μου.
45 1Καὶ οὐκ ἠδύνατο Ιωσηφ ἀνέχεσθαι πάντων τῶν παρεστηκότων
αὐτῷ, ἀλλ᾽ εἶπεν Ἐξαποστείλατε πάντας ἀπ᾽ ἐμοῦ. καὶ οὐ παρει-
στήκει οὐδεὶς ἔτι τῷ Ιωσηφ, ἡνίκα ἀνεγνωρίζετο τοῖς ἀδελφοῖς
2 αὐτοῦ. 2καὶ ἀφῆκεν φωνὴν μετὰ κλαυθμοῦ· ἤκουσαν δὲ πάντες
3 οἱ Αἰγύπτιοι, καὶ ἀκουστὸν ἐγένετο εἰς τὸν οἶκον Φαραω. 3εἶπεν
δὲ Ιωσηφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Ἐγώ εἰμι Ιωσηφ· ἔτι ὁ

20 γηρως νεωτ.] tr. A† | τη μητρι M] τω πατρι A || 21 σου] + οτι A† ||
28 οτι M] > A | και νυν M] > A
45 1 ανεγνωρ. M] + ιωσηφ A